UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Isidoro Diacono. 186.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

σφετερίζεσθαι, οὐκ ἔχω τί λέγειν. εἰ δ' ἀληθῶς ἐρωτᾷς, μαθεῖν βουλόμενος, ταῦτα μὴ ποίει ἃ νῦν ποιεῖς, καὶ ῥᾷον καὶ θᾶττον τὴν κακίαν ἀπαμφιάσοιο.

Ισιδώρῳ Διακόνῳ. ρπϛ.

Τὸ θεῖον καίτοι φανότατον ὄν, καὶ ἡλίου πολλῷ λαμπρότερον, ἰδεῖν μὲν ἀδύνατον. οὐδὲ γὰρ θνητοῖς ὄμμασίν ἐστι χωρητόν, νοεῖν δ' οὐκ ἀδύνατον. νῷ γὰρ μάλιστα καθαρῷ τὰς ἑαυτοῦ ἀκτῖνας διὰ τῆς προνοίας ἐπιπέμπει. καταλαβεῖν δὲ δυχερέστατον· παντὸς γὰρ τοῦ νοουμένου μεῖζόν ἐστι καὶ ὑψηλότερον, εὐμενὲς δ' ἔχειν ῥᾴδιον. ἀρετὴν γὰρ ἀσπάζεται καὶ φιλεῖ. εἰ τοίνυν ἐθέλομεν τὸ πᾶσιν ἀχώρητον χωρῆσαι, καὶ ἀξιωθῆναι χρήματος πᾶσαν ὑπερβαίνοντος ἀξίαν, σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ φρονήσει καὶ ἀνδρίᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς ἑαυτοὺς κοσμήσωμεν. ψυχῆς γὰρ ἁγνῆς τόπον οἰκειότερον καὶ πρεπωδέστερον οὐχ ὁρίζεται. διὸ καὶ ἔφη, ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω.

Παλλαδίῳ Διακόνῳ. ρπζ.

Εἰ καὶ χαλεπὸν τὸ τραῦμα, καὶ θάνατον ὠδίνει τὸν ἀθάνατον. ἀλλ' εἰ καλέσειας τὴν θείαν συμμαχίαν τὴν καὶ παθῶν καὶ πάσης περιγιγνομένην κακίας, οὐδ' ἴχνος λελείψεται τοῦ τραύματος.

Ισιδώρῳ Διακόνῳ. ρπη.

Καὶ ἐκ τῶν λεχθησομένων, ὦ φρονήσεως, τέμενος, γνοίης ἂν ἀκριβῶς τῶν τε θείων καὶ τῶν ἀνθρωπίνων νόμων τὸ διάφορον. οἱ μὲν γὰρ ἱεροὶ χρησμοὶ τὰ δέοντα καὶ πρέποντα νομοθετήσαντες, ἐν ἀρχῇ καὶ ἐν τῇ πρώτῃ ἡλικίᾳ τοὺς διδασκάλους ἐφιστᾶσι τῆς ἀρετῆς κωλύοντες εἰσκωμάσαι τὴν πονηρίαν. οὗτος γὰρ ἄριστος διδασκαλίας τρόπος, οὐκ

pauperum ſunt, auertendi finem facias, quid dicam non habeo. Sin autem verè ac ſeriò percunctaris, vt intelligas, hæc quæ facis facere deſine: atque ita faciliùs & citiùs improbitatem deponas.

Iſidoro Diacono. 186.

Diuinum numen, etſi clariſſimum, ac Sole longè ſplendidius, cernere quidem impoſſibile eſt (neque enim in mortalium oculos cadit) animo autē concipere haudquaquā impoſſibile (mēti quippe ab omni labe quàm maximè puræ radios ſuos per prouidentiam immittit) comprehendere autem prorſus difficile (omnibus enim rebus quæ animo & ratione intelliguntur, maius eſt ac ſublimiꝰ) benignū verò ac placidū habere pronū & facile. Virtutē quippè amat & exoſculatur. Quamobrē ſi nobis cordi eſt, id quod captum excedit capere, ac rem dignitatem omnem ſuperantem conſequi, temperantia, iuſtitia, prudētia, fortitudine, aliiſque virtutibꝰ noſipſos exornemus. Neque enim aptiorem ſibi ac familiariorem ſedem vllam, quàm puram & caſtam animā eſſe cōſtituit. Eóque etiam nomine ait, inhabitabo in eis, & inambulabo.

Palladio Diacono. 187.

Etſi graue atque acerbum vulnus eſt, atque immortalem mortē accerſit: tamen ſi diuinum auxiliū, quod & turbidos animi motus, & vitium omne vincit ac profligat, imploraris, ne veſtigium quidē vulneris relinquetur.

Iſidoro Diacono. 188.

Ex his quoque quæ dicturi ſumus (ô prudentiæ delubrum) quid inter diuinas & humanas leges diſcriminis ſit perſpicuè intelligere queas. Etenim diuina oracula, ea, quæ honeſta & conſentanea ſunt, ſancientia, in principio atque in prima ætate virtutis magiſtros præficiunt, quo videlicet improbitati aditum intercludant. Nā hæc demum optima doctrinę ratio eſt, nō